UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Sanctae memoriae patris nostri Ioannis Chrysostomi sermo: Quod veteris & noui testamenti vnus sit legislator: & in vestem sacerdotis: cuius initium est.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

ANNO CHRISTI 787. στόμος τοιαῦτα λέγει περὶ τῶν εἰκόνων, τίς ἔτι τολμᾷ εἰπεῖν κατ' αὐτῶν τι;

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπεν· ἀπεδέξατο αὐτὰς ἀληθῶς· καὶ τοιοῦτον πόθον εἶχον οἱ τότε εὐσεβεῖς εἰς τὴν εἰκόνα αὐτοῦ, ὥστε πανταχοῦ ἐκτυποῦν τὴν εἰκόνα τοῦ ἁγίου Μελετίου. ὅθεν καὶ ὁ πατὴρ ὑπερβαλλόντως αὐτοὺς ἐπαινεῖ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἡμεῖς ἐκ τῶν πατέρων ἡμῶν παρειληφότες τὰς διδασκαλίας, λέγομεν αὐτὰς καὶ σεπτὰς, καὶ ἁγίας, καὶ ἱεράς.

Θεοδόσιος ὁ εὐλαβέστατος ἡγούμενος μονῆς τοῦ ἁγίου Ἀνδρέου τοῦ Νησίου προσήνεγκε βίβλον τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, αἰτούμενος ἀναγνωσθῆναι. ἣν λαβὼν Ἀντώνιος μοναχὸς ἀνέγνω.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου λόγος· ὅτι παλαιᾶς καὶ καινῆς διαθήκης εἷς ὁ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως· οὗ ἡ ἀρχή.

Τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον προεκηρύττουσι μὲν προφῆται. καὶ μεθ' ἕτερα· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφὴν εὐσεβείας πεπληρωμένην. εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων νέφη· εἶδον πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα· κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ ὁ χρυσοῦ τιμαλφέστερον ἔχων τὸ στόμα τοιοῦτον λόγον ἐφώνησεν· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφήν· τί λέξομεν περὶ τῶν μισούντων;

aurei oris talia dixit de iconis, quis adhuc audet dicere contra eas quidquam?

Basilius sanctissimus episcopus Ancyræ dixit: Recepit eas veraciter; & talem amorem habebant pii qui tunc erant, circa imaginem eius, vt vbique formarent iconam sancti Meletii. Vnde & pater hic supra modum illos laudat.

Sanctissimus patriarcha dixit: Et nos a patribus nostris percipientes doctrinas, dicimus eas & venerabiles iconas, & sanctas, & sacras.

Theodosius reuerendissimus hegumenus monasterii sancti Andreæ Nesii attulit librum eiusdem Ioannis oris aurei, petens relegi. quem accipiens Antonius monachus legit.

*Sanctæ memoriæ patris nostri Ioannis Chrysostomi sermo: Quod veteris & noui testamenti vnus sit legislator: & in vestem sacerdotis: cuius initium est.*

Christi regni euangelium ante quidem prædicauere prophetæ. Et post alia. Ego & cera perfusam dilexi picturam pietate repletam. Vidi enim angelum in icona pellentem barbarorum cuneos. Vidi conculcatas barbarorum nationes, & Dauid veraciter dicentem: *Domine in* Psalm. 72.
*ciuitate tua imaginem eorum ad nihilum rediges.*

Sanctissimus patriarcha dixit: Si is qui auro preciosius os habebat, perhibuit dicens: Ego & cera perfusam dilexi picturam: quid dicemus de his qui oderunt?

ANNO CHRISTI 787.

Basilius sanctissimus episcopus Ancyræ dixit: Illo dicente, quia ego dilexi: quis audet effari contrarium?

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπεν· ἐκείνου λέγοντος, ὅτι ἐγὼ ἠγάπησα, τίς τολμᾷ φάναι τὸ ἐναντίον;

Ioannes reuerendissimus presbyter & vicarius orientalium pontificum dixit: Quis autem est iste angelus, nisi ille de quo

4. Reg. 19. scriptum est: Quia angelus Domini percussit centum octoginta millia Assyriorum in vna nocte circa Ierusalem hostiliter militantia?

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς καὶ πρεσβύτερος, καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων, εἶπε· τίς ἐστιν οὗτος ὁ ἄγγελος, εἰ μὴ περὶ οὗ γέγραπται· ὅτι ἄγγελος κυρίου ἐπάταξεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ περὶ τὴν Ἱερουσαλὴμ ἐστρατοπεδευκότων;

Nicephorus sanctissimus episcopus Dyrrachii dixit: Sed propitius nobis sit Dominus super delictis quæ peccauimus circa sacras imagines.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Δυρραχίου εἶπεν· ἀλλ' ἵλεως ἡμῖν γένοιτο κύριος ἐπὶ τοῖς παραπτώμασιν οἷς πεπράχαμεν περὶ τὰς ἱερὰς εἰκόνας.

Gregorius diaconus & notarius legit.

Γρηγόριος διάκονος καὶ νοτάριος ἀνέγνω.

*Ex sermone sancti Gregorii Nyssæ, habito Constantinopoli, de deitate Filii & Spiritus, & in Abraham: cuius initium est.*

Ἐκ τοῦ λόγου τοῦ ἁγίου Γρηγορίου Νύσσης, λεχθέντος ἐν Κωνσταντινουπόλει, περὶ θεότητος υἱοῦ καὶ πνεύματος, καὶ εἰς τὸν Ἀβραάμ· οὗ ἡ ἀρχή.

Veluti quiddam patiuntur ad multum florida prata. Et post alia. Vidi sæpe in pictura imaginem passionis, & non sine lacrymis aspectum transiui, dum euidenter ars ante vultum afferret historiam. Ceterum po-

Genes. 22. nitur Isaac apud ipsum altare super genu locatus, & ligatas habens manus retrorsum. At ille ascendens post tergum pue-

* Gr. suffragini innixus, ri * suffragine iuncta, læua manu comam pueri ad se reflectit, & incuruatur vultui miserabi-

* Gr. ad ipsum liter * ad se respicienti, & dexteram armatus gladio ad occisionem dirigit; & tangit iam corpus gladii acie: & tunc ei fit diuinitus vox prohibens opus.

Οἷόν τι πάσχουσι πρὸς τοὺς πολυανθεῖς τῶν λειμώνων. καὶ μεθ' ἕτερα· εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. λοιπὸν πρόκειται ὁ Ἰσαὰκ τῷ πατρὶ παρ' αὐτῷ τῷ θυσιαστηρίῳ ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιηγμένας ἔχων εἰς τοὐπίσω τὰς χεῖρας. ὁ δὲ ἐπιβεβηκὼς κατόπιν τῷ ποδὶ τῆς ἀγκύλης, καὶ τῇ λαιᾷ χειρὶ τὴν κεφαλὴν τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ ἐλεεινῶς πρὸς αὐτὸν ἀναβλέποντι· καὶ τὴν δεξιὰν καθωπλισμένος τῷ ξίφει πρὸς τὴν σφαγὴν κατευθύνει· καὶ ἅπτεται ἤδη τοῦ σώματος τῇ τοῦ ξίφους ἀκμῇ· καὶ τότε αὐτῷ γίνεται θεόθεν φωνὴ τὸ ἔργον κωλύουσα.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN